Κρεῖσσον καλῶς βιοῦντα, καὶ φθονούμενον,
Παρρησιάζεσθαί τι πρὸς τὸν δεσπότην,
Ἢ μὴ καλοῖς καλῶς θάλλοντ' ἀπαιτεῖσθαι δίκην.
Εἰ καὶ τὰ πάντα σὺν λόγῳ πορεύεται.

Πρόου τὰ πάντα, καὶ θεὸν κτῆσαι μόνον,
Εἰ δ' ὑβρίσῃς χρημάτων ἀλλοτρίων.
Εἰ δ' οὐ θέλεις τὰ πάντα, δὸς τὰ πλείονα.
Εἰ δ' οὐδὲ τοῦτο, τοῖς περιττοῖς εὐσέβει.

Καλόν τι, σητῶν ἁρπάσαι, καὶ τοῦ φθόνου
Χριστὸν χρεώστην μᾶλλον, ἢ τὰ πάντ' ἔχειν.
Ὃς καὶ βασιλείαν κλάσματος χαρίζεται.
Χριστὸν σκέπεις, τρέφεις τε, τὸν πτωχὸν τρέφων.

Πένης προσῆλθεν, εἶτ' ἀπῆλθε μὴ τυχών.
Δέδοικα, Χριστὲ, μὴ κἀγὼ τῆς σῆς χειρὸς
Χρῄζων, ἀπέλθοιμ' ἐνδεὴς ἐμ νόμοις.
Ὃ γάρ τις οὐκ ἔδωκε, μὴ δ' ἐλπιζέτω.

Πένητος ἀνδρὸς οὐδὲν ἀσφαλέστερον.
Πρὸς τὸν θεὸν νένευκε, καὶ μόνον βλέπει
Σὺ δ' ἀγκαλίζου, ἀετὸς δ' (ὡς λόγος
Πολὺς) καλιᾷ λεπτὸν ὄρνιν ἀμφέπῃ.

Κρεῖσσον πενία μὴ δικαίας κτήσεως,
Καὶ ἡ νόσος γε, τῆς κακῆς εὐεξίας.